oracle de la Sibylle d'Erythrée

Ι	Ι	δρώσει γὰρ χθὼν, κρίσεως σημεῖον ὅτ' ἔσται.
	Η	ξει δ' οὐρανόθεν βασιλεὺς αἰῶσιν, ὁ μέλλων
	Σ	άρκα παρὼν πᾶσαν κρῖναι καὶ κόσμον ἅπαντα.
Jésus	Ο	ψονται δὲ Θεὸν μέροπες πιστοὶ καὶ ἄπιστοι
	Υ	ψιστον μετὰ τῶν ἁγίων ἐπὶ τέρμα χρόνοιο,
	Σ	αρκοφόρον ψυχὰς τ' ἀνδρῶν ἐπὶ βήματι κρινεῖ.
Χ	Χ	έρσος ὅτ' ἂν ποτε κόσμος ὅλος καὶ ἄκανθα, γένηται.
	Ρ	ίψωσί τ' εἴδωλα βροτοὶ καὶ πλοῦτον ἅπαντα,
	Ε	κκαύσῃ δὲ τὸ πῦρ γῆν, οὐρανὸν ἠδὲ θάλασσαν,
Christ	Ι	χνεύων, ῥήξῃ τε πύλας εἱρκτῆς ἀτ δαο.
	Σ	ἀρξ τότε πᾶσα νεκρῶν, ἐς ἐλευθέριον φάος ἥξει.
	Τ	οὺς ἁγίους, ἀνόμους τε τὸ πῦρ αἰῶσιν ἐλέγξει.
	Ο	ππόσα τις πράξας ἔλαθεν, τότε πάντα λαλησει.
	Σ	τήθεα γὰρ ζοφόεντα Θεὸς φωστῆρσιν ἀνοίξει.
Θ	Θ	ρῆνός τ' ἐκ πάντων ἔσται, καὶ βρυγμὸς ὀδόντων.
	Ε	κλείψει σέλας ἠελίου, ἄστρων τε χορεῖαι.
de Dieu	Ο	ὐρανὸν εἰλίξει, μήνης δέ τε φέγγος ὀλεῖται
	Υ	ψώσει δὲ φάραγγας, ὀλεῖ δ' ὑψώματα βουνῶν.
Υ	Υ	ψος δ' οὐκέτι λυγρὸν ἐν ἀνθρώποισι φανεῖται.
	Ι	σά τ' ὄρη πεδίοις ἔσται· καὶ πᾶσα θάλασσα
le Fils	Ο	ὐκ εἰς πλοῦν ἔξει· γῆ γὰρ φρυχθεῖσα κεραυνῷ.
	Σ	ὐν πηγαῖς ποταμοί τε καχλάζοντες λείψουσιν.
Σ	Σ	άλπιγξ δ' οὐρανόθεν φωνὴν πολύθρηνον ἀφήσει,
	Ω	ρύουσα μύσος μελεὸν καὶ πήματα κόσμου.
Sauveur	Τ	αρταρόεν δὲ χάος τότε δείξει γαῖα χανοῦσα.
	Η	ξουσιν δ' ἐπὶ βῆμα Θεοῦ βασιλῆες ἅπαντες.
	Ρ	εύσει δ' οὐρανόθεν ποταμὸς πυρὸς, ἠδὲ γε θείου,
(Σ)	Σ	ῆμα δέ τοι τότε πᾶσι βροτοῖς ἀριδείκετον, οἷον
	Τ	ὸ ξύλον ἐν πιστοῖς τὸ κέρας τὸ ποθούμενον ἔσται·
	Α	νδρῶν εὐσεβέων ζωὴ, πρόσκομμά δε κόσμου.
Croix	Υ	δασι φωτίζον πιστοὺς ἐν δώδεκα πηγαῖς.
	Ρ	άβδος ποιμαίνουσα σιδηρείη γε κρατήσει.
	Ο	ὗτος ὁ νῦν προγραφεὶς ἐν ἀκροστιχίοις Θεὸς ἡμῶν,
	Σ	ωτὴρ, ἀθάνατος βασιλεὺς, ὁ παθὼν ἕνεχ' ἡμῶν.

Double acrostiche :

Ἰησοῦς,	Jésus
Χριστὸς,	Christ
Θεοῦ	Fils de
Υἱὸς,	Dieu,
Σωτήρ.	Sauveur,
(Σταυρὸς)	Croix
↳ ΙΧΘΥΣ	Poisson (signe de ralliement dans les catacombes)

Source : Dictionnaire d'Art et d'Archéologie
Sous ΙΧΘΥΣ p 2000 et sq